Ἀνδρέας, ἐλέῳ Θεοῦ ἐψηφισμένος Μητροπολίτης τῆς Ἁγιωτάτης Μητροπόλεως Δρυϊνουπόλεως Πωγωνιανῆς καί Κονίτσης, οἰκείᾳ χειρί προέταξα.

1. Πιστεύω εἰς ἕνα Θεόν Πατέρα Παντοκράτορα, ποιητήν οὐρανοῦ καί γῆς, ὁρατῶν τε πάντων καί ἀοράτων.
2. Καί εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τόν Υἱόν τοῦ Θεοῦ τόν Μονογενῆ, τόν ἐκ τοῦ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεόν ἀληθινόν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τά πάντα ἐγένετο.
3. Τόν δι᾽ ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καί σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς Παρθένου καί ἐνανθρωπήσαντα.
4. Σταυρωθέντα τε ὑπέρ ἡμῶν ἐπί Ποντίου Πιλάτου καί παθόντα καί ταφέντα.
5. Καί ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατά τάς Γραφάς.
6. Καί ἀνελθόντα εἰς τούς Οὐρανούς καί καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός,
7. Καί πάλιν ἐρχόμενον μετά δόξης κρῖναι ζῶντας καί νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.
8. Καί εἰς τό Πνεῦμα τό Ἅγιον, τό Κύριον, τό Ζωοποιόν, τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον, τό σύν Πατρί καί Υἱῷ συμπροσκυνούμενον καί συνδοξαζόμενον, τό λαλῆσαν διά τῶν Προφητῶν.
9. Εἰς Μίαν, Ἁγίαν, Καθολικήν καί Ἀποστολικήν Ἐκκλησίαν.
10. Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.
11. Προσδοκῶ ἀνάστασιν νεκρῶν.
12. Καί ζωήν τοῦ μέλλοντος αἰῶνος.

Ἀ μ ή ν

Πρός δέ τούτοις στέργω καί ἀποδέχομαι τάς ἁγίας ἑπτά Οἰκουμενικάς Συνόδους καί τῶν Τοπικῶν, ἅς ἐκεῖναι ἀποδεξάμεναι ἐκύρωσαν, ἐπί φυλακῇ τῶν Ὀρθοδόξων τῆς Ἐκκλησίας δογμάτων ἀθροισθεῖσαι. Ὁμολογῶ πάντας τούς ὑπ᾽ αὐτῶν, ὡς ὑποφωτιστικῆς Χάριτος τοῦ Παναγίου Πνεύματος ὁδηγουμένων, ἐκτεθέντας ὅρους τῆς ὀρθῆς Πίστεως καί τούς Ἱερούς Κανόνας, οὕς οἱ Μακάριοι ἐκεῖνοι, πρός τήν τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας διακόσμησιν καί τῶν ἠθῶν εὐταξίαν κατά τάς Ἀποστολικάς παραδόσεις καί τήν διάνοιαν τῆς Εὐαγγελικῆς Θείας διδασκαλίας συντάξαντες, παρέδωκαν τῇ Ἐκκλησίᾳ, ἐνστερνίζομαι καί κατ᾽ αὐτούς ἰθύνειν ἐπιμελήσομαι τήν θείῳ βουλήματι κληρω-

./.

θεῖσαν μοι διακονίαν καί κατ' Αὐτούς διατελέσω διδάσκων πάντα τόν τῇ πνευματικῇ μοι ποιμαντορίαν πεπιστευμένον Ἱερόν Κλῆρον καί τόν περιούσιον Λαόν τοῦ Κυρίου.

Προὐργιαίτατα δέ μοι ὁμολογεῖται, ἵνα τηρῶ τήν ἑνότητα τῆς Πίστεως ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, πάντα μέν, ὅσα ἡ Μία, Ἁγία, Καθολική καί Ἀποστολική Ἐκκλησία τῶν Ὀρθοδόξων πρεσβεύουσα δογματίζει· ταῦτα πρεσβεύω κἀγώ καί πιστεύω μηδέν προστιθείς, μηδέν ἀφαιρῶν, μηδέν μεταβάλλων, μήτε τῶν δογμάτων, μήτε τῶν Παραδόσεων, ἀλλά τούτοις ἐμμένων καί ταῦτα μετά φόβου Θεοῦ καί ἀγαθῆς συνειδήσεως διδάσκων καί κηρύττων, πάντα δέ ὅσα Ἐκείνη κατακρίνουσα ὡς ἑτεροδιδασκαλίας ἀποδοκιμάζει, ταῦτα κἀγώ ἀποδοκιμάζων καί ἀποδιοπομπούμενος διά παντός.

Πείσομαι δ' ἐσαεί προθύμως ἐν τοῖς Ἐκκλησιαστικοῖς καί τῇ Ἱερᾷ Συνόδῳ ὡς Ἀνωτάτῃ Ἀρχῇ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, σεβόμενος καί τηρῶν τάς δωρηθείσας Αὐτῇ προνομίας, πρός καταρτισμόν τε καί στηριγμόν τῆς παρ' ἡμῖν Ὀρθοδόξου Ἐκκλησίας, καί ἐπιμελήσομαι ὅση μοι δύναμις περίεστι ὀρθοτομεῖν τόν λόγον τῆς ἀληθείας, εἰς δόξαν τοῦ Πατρός καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, τῆς Μιᾶς Ὑπερουσίου καί ἀδιαιρέτου Τριάδος, τοῦ Ἑνός καί Μόνου ἀληθινοῦ Θεοῦ, καί πρός σωτηρίαν τῶν πιστῶν.

*Ἀνδρέας, ἐλέῳ Θεοῦ ἐψηφισμένος Μητροπολίτης τῆς Ἁγιωτάτης Μητροπόλεως Δρυϊνουπόλεως, Πωγωνιανῆς καί Κονίτσης, οἰκείᾳ χειρί ὑπέταξα.*

*Ἀθήνησι, μηνός Ἰανουαρίου 28, σωτηρίου ἔτους χιλιοστοῦ ἐνακοσιοστοῦ ἐνενηκοστοῦ πέμπτου (1995).*